ἡδοναί, οὐδὲν διαφέρει· ἑλοίμεθα γὰρ ἂν ταῦτα, A καὶ εἰ μήτ' γίνοιτ' ἂν ἀπ' αὐτῶν ἡδονή. ὅτι μὲν οὖν οὔτε τἀγαθὸν ἡ ἡδονὴ, οὔτε πᾶσα αἱρετὴ, δῆλον ἔοικεν εἶναι, καὶ ὅτι εἰσὶν αἱρεταί τινες καθ' αὑτὰς, διαφέρουσαι τῷ εἴδει, ἢ τῷ ἀφ' ὧν. τὰ μὲν οὖν λεγόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης ἱκανῶς εἰρήσθω.

Κεφάλαιον γ.

Τί δ' ἐστὶν, ἢ ποῖόν τι, καταφανέστερον B γίνοιτ' ἂν ἀπ' ἀρχῆς ἀναλαβοῦσι. δοκεῖ γὰρ ἡ μὲν ὅρασις, καθ' ὁντιναοῦν χρόνον τελεία εἶναι· οὐ γάρ ἐστιν ἐνδεὴς οὐδενὸς, ὃ εἰς ὕστερον γινόμενον τελειώσει αὐτῆς τὸ εἶδος. τοιούτῳ δ' ἔοικε καὶ ἡ ἡδονή· ὅλον γάρ τί ἐστι. καὶ κατ' οὐδένα χρόνον λάβοι τις ἂν ἡδονήν· ἧς ἐπὶ πλείω χρόνον γινομένης, τελειωθήσεται τὸ εἶδος· διόπερ οὐδὲ κίνησίς ἐστιν· ἐν C χρόνῳ γὰρ πᾶσα κίνησις, καὶ τέλος τινὸς, οἷον ἡ οἰκοδομικὴ τελεία, ὅταν ποιήσῃ οὗ ἐφίεται. ἢ ἐν ἅπαντι δὴ τῷ χρόνῳ, ἢ ἐν τούτῳ. ἐν δὲ τοῖς μέρεσι τοῦ χρόνου πᾶσαι ἀτελεῖς, καὶ ἕτεραι τῷ εἴδει τῆς ὅλης καὶ ἀλλήλων· ἡ γὰρ τῶν λίθων σύνθεσις, ἑτέρα τῆς τοῦ κίονος ῥαβδώσεως, καὶ αὗται, τῆς τοῦ ναοῦ ποιήσεως. καὶ ἡ μὲν τοῦ ναοῦ, τελεία· οὐδενὸς γὰρ ἐνδεὴς D πρὸς τὸ προκείμενον· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ τριγλύφου, ἀτελής· μέρους γὰρ ἑκατέρα. τῷ εἴδει οὖν διαφέρουσι, καὶ οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει· ἀλλ' εἴπερ, ἐν τῷ παντί. ὁμοίως δὲ καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν· εἰ γάρ ἐστιν ἡ φορὰ, κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ κατ' εἶδος, πτῆσις, βάδισις, ἅλσις, καὶ τὰ τοιαῦτα· οὐ μόνον δὲ οὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ E βαδίσει· τὸ γὰρ πόθεν ποῖ, οὐ ταὐτὸν ἐν τῷ σταδίῳ καὶ τῷ μέρει, καὶ ἐν ἑτέρῳ καὶ ἑτέρῳ μέρει· οὐδὲ τὸ διεξιέναι τὴν γραμμὴν τήνδε κἀκείνην· οὐ μόνον γὰρ γραμμὴν διαπορεύεται, ἀλλὰ καὶ ἐν τῷ τόπῳ οὖσαν· ἐν ἑτέρῳ δ' αὕτη ἐκείνης. δι' ἀκριβείας μὲν οὖν περὶ κινήσεως ἐν ἄλλοις εἴρηται. ἔοικε δ' οὐκ ἐν ἅπαντι F χρόνῳ τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρουσαι τῷ εἴδει, εἴπερ τὸ πόθεν ποῖ εἰδοποιόν. τῆς ἡδονῆς δ' ἐν ὁτῳοῦν χρόνῳ τέλειον τὸ εἶδος. δῆλον οὖν ὡς ἕτεραί τε ἂν εἶεν ἀλλήλων, καὶ τῶν ὅλων τι καὶ τελείων ἡ ἡδονή. δόξειε δ' ἂν τοῦτο καὶ ἐκ τοῦ μὴ ἐνδέχεσθαι

nihil refert. expeteremus nanque ea nihilominus, licet etiam nulla inde voluptas exoriretur. Voluptatem igitur neque eſſe ipſum per ſe bonum, neque omnem eſſe expetendam: nonnullásque eſſe per ſe expetibiles, quę differant aut ſpecie, aut iis à quibus eueniunt, planum videtur. Ac de iis quidem quæ de voluptate & dolore feruntur, ſatis dictum ſit.

CAPVT III.

QVidnam autem ſit voluptas, aut qualis, clarius fiet, ſi diſputationem à principio repetamus. Viſio enim quocunque tempore eſſe perfecta videtur. nulla enim re deficit, quæ poſtea ſuccedens ſpeciem eius perficiat. huic ſimilis quoque voluptas eſt. totum ſiquidem quoddam eſt: neque vllo in tempore ſtatuere aliquis voluptatem poſſet, cuius, ſi longiore fieret tēpore, ſpecies perficeretur. Idcirco neque motio eſt. in tēpore. n. fit omnis motus, & cuiuſdam etiam finis eſt. vt ædificatio tūc perfecta eſt, cùm fecit id quod appetit, vel in omni videlicet tempore, vel in hoc. nam in partibus temporis imperfectæ omnes, & à tota, & inter ſe ſunt ſpecie diuerſæ. lapidum ſiquidem compoſitio diuerſa à columnæ virgatione: atque hæ vtræque à templi extructione differūt. templi enim effectio, cùm nulla re deficiat ad propoſitum, perfecta eſt: fundamenti verò, & triglyphi fabrica eſt imperfecta: quippe cùm vtraque partis ſit. Speciē igitur differunt. neque fieri poteſt vt in quocunque tempore motionem ſpecie perfectam ſumamus, niſi in toto. Simili modò quoque in ingreſſione, & cæteris. nam ſi delatio eſt motio quę alicundè aliquo fit: eius differentiæ ſunt ſecundum ſpeciem volatus, ingreſſus, & ſaltus. atque huiuſmodi, neq. tātum hoc modo, verùm etiā in ingreſſione ipſa differentia eſt: nā alicūdè & aliquò non idem in ſtadio & in parte eius eſt, & in alia, atque alia parte: neque percurrere lineam hanc, & illam. non ſolùm enim lineam, ſed in loco conſtitutam pertranſit: in diuerſo autem hæc, quàm illa eſt. Sed accuratius de motu alibi iam diximus. Videtur autem non in omni tempore motio eſſe perfecta: ſed pleræque imperfectæ, & ſpecie differentes: ſiquidem alicunde aliquo ſpeciem earum efficit. at voluptatis in quolibet tempore perfecta ſpecies eſt. perſpicuum igitur eſt, & diuerſas has inter ſe eſſe: & voluptatem quippiam ex iis eſſe, quæ integra ac perfecta ſunt. Hoc autem ex eo etiam videretur, quod